UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

XXXVI. Quomodo eos, qui Joannem persecuti fuerant, postea facti sui poenituerit: & de reliquiarum ejus translatione.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

Cap. XXXVI.

Quomodo eos, qui Joannem perſecuti fuerant, poſtea facti ſui pœnituerit: & de reliquiarum ejus tranſlatione.

Aliquanto poſt ipſæ quoque magni doctoris reliquiæ in urbem Regiam tranſlatæ ſunt. Atque iterum fidelis populus, mari præ navigiorum multitudine inſtar continentis effecto, oſtium Boſpori ad Propontidem ſitum facibus obtexit. Hunc porro theſaurum Regiæ urbi donavit is, qui nunc Imperium obtinet, qui & avi nomen præfert, & pietatem ejus integram atque illibatam ſervat. Hic igitur oculos & frontem loculo admovens, pro parentibus ſuis ſupplicavit, petens ut iis, qui per imprudentiam peccaſſent, veniam concederet. Jam enim dudum parentes illius ex hac vita migraverant, ipſum admodum puerum, orbum relinquentes. Sed Deus parentum & majorum ipſius, orbitatis mala eum experiri minime paſſus eſt: nam & piam educationem ei præſtitit, & Imperium vacuum à ſeditionibus ac tumultibus donavit; & tyrannica conſilia repreſſit. Memor itaque beneficiorum, auctorem ſuum aſſidue laudibus celebrat. Comites autem hymnorum habet ſorores ſuas, quæ perpetuam virginitatem colunt, & ſacrorum oraculorum meditationem pro ſummis deliciis habent, & quæ egentium neceſſitatem theſaurum tutiſſimum arbitrantur. Porro Imperator ipſe, tum aliis multis dotibus eſt ornatus, tum præcipue clementia ac manſuetudine, & animi tranquillitate, quæ nulla tempeſtate turbatur: ad hæc ſincera & probata fide. Cujus certiſſimum argumentum allaturus ſum.

Κεφ. λϛʹ.

Περὶ τῆς ὕστερον γεγενημένης τοῖς πεπολεμηκόσιν Ἰωάννῃ τῷ ἐπισκόπῳ μεταμελείας, καὶ τῆς τῶν λειψάνων αὐτοῦ μετακομιδῆς.

Χρόνῳ μέντοι ὕστερον καὶ αὐτοῦ τοῦ διδασκάλου τὰ λείψανα εἰς τὴν βασιλεύουσαν μετεκόμισαν πόλιν. καὶ πάλιν ὁ πιστὸς ὅμιλος, ὡς ἤπειρον τῷ πελάγει διὰ τῶν πορθμείων χρησάμενος, τοῦ Βοσπόρου τὸ πρὸς τῇ Προποντίδι στόμα ταῖς λαμπάσι κατέκρυψε. τοῦτον ἐκείνῃ τῇ πόλει τὸν θησαυρὸν ὁ νῦν βασιλεύων προσήνεγκεν, ὁ τοῦ πάππου καὶ τὴν προσηγορίαν λαχών, καὶ τὴν εὐσέβειαν φυλάξας ἀκήρατον. οὗτος ἐπιθεὶς τῇ λάρνακι καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ μέτωπον, ἱκετείαν ὑπὲρ τῶν γεγεννηκότων προσήνεγκε, συγγνῶναι τοῖς ἐξ ἀγνοίας ἠδικηκόσιν ἀντιβολήσας. πάλαι μὲν γὰρ ἐτεθνήκεσαν οἱ τούτου γονεῖς, κομιδῆ νέον ἐν ὀρφανείᾳ καταλιπόντες. ἀλλὰ πεῖραν αὐτὸν λαβεῖν τῆς ὀρφανείας οὐκ εἴασεν ὁ τῶν πατέρων καὶ τῶν προγόνων θεός. τροφῆς τε γὰρ αὐτὸν μεταλαχεῖν εὐσεβοῦς παρεσκεύασε, καὶ τὴν βασιλείαν ἐφύλαξεν ἀστασίαστον, καὶ τὰς τυραννικὰς ἐχαλίνωσε γνώμας. τῶνδε τῶν εὐεργεσιῶν μεμνημένος ἀεί, τὸν εὐεργέτην γεραίρει τοῖς ὕμνοις. ἔχει δὲ κοινωνοὺς τῆς ὑμνῳδίας τὰς ἀδελφάς, διὰ βίου τὴν παρθενίαν ἀσκούσας, καὶ τρυφὴν ἡγουμένας μεγίστην τὴν τῶν θείων λογίων μελέτην, καὶ θησαυρὸν ἄσυλον νομιζούσας τῶν δεομένων τὰς χρείας. αὐτὸν μέντοι τὸν βασιλέα πολλὰ καὶ ἄλλα κοσμεῖ· οὐχ ἥκιστα δὲ φιλανθρωπία καὶ πραότης, καὶ γαλήνη ψυχῆς ζάλην οὐ δεχομένη, καὶ πίστις ἀκραιφνής τε καὶ δόκιμος. καὶ ταύτης σαφὲς ἐπιδείξω τεκμήριον.

Cap. XXXVII.

Fides Theodoſii junioris & ſororum ejus.

Vir quidam profeſſione monachus, ſed animo audacior, ad Imperatorem acceſſit, ut aliquid ab eo poſtularet. Quod cum ſæpius fruſtrà feciſſet, tandem Imperatori Eccleſiaſtica communione interdixit, injectoque vinculo diſceſſit. Verum fideliſſimus Imperator ad palatium reverſus, cum jam tempus inſtaret convivii, & adeſſent convivæ, negavit ſe prius cibum ſumpturum, quam vinculis ſolutus eſſet. Atque idcirco

Κεφ. λζʹ.

Περὶ τῆς πίστεως Θεοδοσίου τοῦ μικροῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

Ἀνήρ τις ἀσκητικὸν μὲν ἀσπαζόμενος βίον, θρασυτέρᾳ δὲ χρώμενος γνώμῃ, προσελήλυθε τῷ βασιλεῖ περί τινος δεόμενος. ἐπειδὴ δὲ τοῦτο δράσας πολλάκις οὐκ ἔτυχε, τῆς ἐκκλησιαστικῆς αὐτὸν κοινωνίας ἐκώλυσε, καὶ τὸν δεσμὸν ἐπιθεὶς, ὑπεχώρησεν. ὁ δὲ πιστότατος βασιλεύς, παραγενόμενος εἰς τὰ βασίλεια, καὶ τοῦ καιροῦ καλοῦντος εἰς εὐωχίαν, καὶ τῶν συσίτων παρόντων, οὐκ ἔφη πρὶν λυθῆναι τὸν δεσμὸν, μεταλαχεῖν τροφῆς. καὶ τούτου